# ΚΑΝΟΝΕΣ ΑΣΜΑΤΙΚΟΙ

## ΤΕΣΣΑΡΕΣ

Εἰς τὴν Ἀειπάρθενον Θεοτόκον Μαρίαν,

Εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν,

Εἰς τὸν Ἀγ. Ἀπόστολον, Ἀρχιδιάκονον καὶ Πρωτομάρτυρα Στέφανον,

Εἰς τοὺς Ἀρχαγγέλους Μιχαὴλ καὶ Γαβριήλ.

Φιλοπονηθέντες ὑπὸ

ΜΙΧΑΗΛ ΣΤΕΦΑΝΟΥ ΙΔΡΩΜΕΝΟΥ ΤΟΥ ΚΕΡΚΥΡΑΙΟΥ.

Ἀφιερωθέντες δὲ

ΕΜΜΑΝΟΥΗΛ ΒΑΡΩΝΙ ΘΕΟΤΟΚΗ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΙΣ ΠΑΠΑΣΤΡΑΤΟΥ
15
P. XXV
23.

ΚΕΡΚΥΡΑΙ.

1833.

ΒΑΡΩΝ.

Νόμος θεῖος ἦν τοῖς υἱοῖς Ἰσραὴλ πάντων τὰς ἀπαρχὰς Κυρίῳ Παντοκράτορι προσφέρεσθαι. Ἐντεῦθεν, οἶμαι, κοινὸν ἔθος ἐγένετο τοὺς ποιμένας καὶ γεωργοὺς τὰ νεόδρεπτα τῶν ἀκροδρύων καὶ πρωτογέννητα τῶν ποιμνίων τοῖς Δεσπόταις προσάγειν. Ἀλλὰ δὴ καὶ οἱ ἐν λόγοις, εἴ τί ποτε κατὰ καιρὸν ἐφιλοπόνησαν τῶν τεχνητῶν λόγων, τῶν ἐπιφανῶν ἀντικειμένων τινὶ ἀνετίθεσαν. Ὥστε οὐκ ἀπεικὸς οὐδ' ἐμοὶ εἰ πρὸς τὴν σὴν χρηστότητα τουτὶ τὸ μικρόν μου πονημάτιον ὡς ἀπαρχὴν προσενέγκαιμι. Σὲ γὰρ ἀνέκαθεν ἐξ ἱερῶν καὶ εὐπατριδῶν προγόνων εὐκλεέστατον ἡ Κέρκυρα γνωρίζει Ἀπόγονον. Σὸς θεῖος καὶ ὁ ἐν Λογίοις ἐν Ῥωσσίᾳ τιμώμενος, ὁ Μέγας Νικηφόρος, τοῦ γένους τὸ καύχημα. Σοὶ καὶ οἱ τῶν πενήτων ὀφθαλμοὶ καθ' ἑκάστην ἐνατενείζουσι, καὶ πάντες σε διὰ τὴν πρὸς τὸν Θεὸν πίστιν σου καὶ εὐλάβειαν ἀνὰ στόμα ἔχουσι.

Δέξαι τοίνυν ἱλαρῶς, ὃ μετὰ ταπεινώσεως προσφέρω, καὶ σύγγνωθί μοι τῆς τόλμης, ἣν διὰ τῆς πρὸς πάντας ἐπιεικείας καὶ χρηστότητος τῆς Μεγαλοπρεποῦς σου ψυχῆς ἀνέλαβον.

κζ. Ιαννουαρίου ͵αωλγ΄. Ε. Π.

Ο Σὸς

Υποκλινέστατος Δοῦλος

ΜΙΧΑΗΛ ΣΤΕΦΑΝΟΣ ΙΑΓΩΜΕΝΟΣ Ο ΚΕΡΚΥΡΑΙΟΣ.

## ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Πολλοὶ μὲν ὁρῶντές μου τὴν ἡλικίαν καὶ τὰ πονημάτια ταῦτα, παιδίων ἂν ψελλίσματα εἴποιεν καὶ λέξεις, ἄλλοι δὲ ἄλλως, καὶ ἕτεροι ὡς πρὸς ἐμὲ εὐνοίας καὶ συμπαθείας ἔχοιεν. Αλλ᾽ ἐγὼ τῆς τῶν Ελληνικῶν γραμμάτων σπουδῆς μόλις ἁψάμενος τὴν τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ Μητρὸς βοήθειαν ἐπεκαλεσάμην. Καὶ εἴ ποτε ταῦτα νοεῖντε καὶ γράφειν ἀπροσκόπτως δυνηθείην, ὕμνους καὶ ᾠδὰς αὐτῷ συγγράψαι ηὐξάμην. Δόξαν δέ μοι τυχεῖν ὁπωσοῦν τῆς αἰτήσεως, καὶ ταύτης καὶ πολλῶν ἄλλων, μᾶλλον δὲ πάντων, ὀφειλέτης ὑπάρχων, τοὺς Κανόνας τούς δε εἰς εὐχαριστίαν καὶ δόξαν αὐτοῖς μόχθῳ πολλῷ, διὰ τὴν ἀπειρίαν, ἐφιλοπόνησα.

Δέξασθε οὖν εὐμενῶς, φίλοι, τὸν μικρὸν τοῦτον πόνον μου, ταχεῖαν ἐπὶ τὰ κρείττονα πρόοδον τῷ ἐλαχίστῳ ἐμοὶ ἐπευχόμενοι.

Ερρωσθε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

„ Ασω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου,

Ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.

Ψαλτήρ. Δαυὶδ ψαλμ. ργ'.



# ΚΑΝΩΝ Α'.

## ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ ΜΑΡΙΑΝ,

Οὗ ἡ Ακροστιχίς:

« Πόνων ἀπαρχὴν προσδέχου, Θεοτόκε. »

Ωδὴ ά. ἦχος δ'. « Ανοίξω τὸ στόμα μου »

Πελάγει ποντούμενον, τῆς ἁμαρτίας με Δέσποινα, τῇ θείᾳ σου χάριτι, ἐκ τοῦ βυθοῦ ἀσφαλῆ, ἐξαρπάσασα, γαλήνης πρὸς λιμένα, Παρθένε τὸν εὔδιον, σὺ κατευόδωσον.

Οντως ἀναδέδειξαι, Αγίου Πνεύματος ἔμπλεως, Μαρία Πανάχραντε, τὸν Βασιλέα γαςρὶ, ἐμβαστάσασα, ὃν πάντες οἱ Προφῆται, ἐκ σοῦ προκατήγγειλαν, γεννηθησόμενον.

Νόμον τὸν τῆς φύσεως, σὺ ὑπερέβης ὦ Δέσποινα, καὶ ἔχθρας κατέλυσας τὸν ἐν τῷ Κόσμῳ φραγμὸν, ἀντεισάξασα, εἰρήνην Θεοτόκε, εἰρήνης τὸν Αγγελον πᾶσι κυήσασα.

Ωδὴ γ'. « Τοὺς σοὺς Υμνολόγους »

Ω οἵας τῆς δόξης ἠξιώθης! Αγγέλων γὰρ ἄϋλοι χοροὶ, πάντές σε μεγαλύνουσιν, ὡς τὸν Χριςὸν γεννήσασαν, τὸν Πλαςουργὸν τῆς Κτίσεως, καὶ Βασιλέα Πανύμνητε.

Νέον τὸν Αδὰμ σὺ ἀπειργάσω, ἀρχαίας λυτρώσασα ἀρᾶς, σὺν Εὔᾳ τῇ Προμήτορι, τῆς ἐντολῆς Πανύμνητε, τῆς θείας παρακούσαντας, δολίοις λόγοις τοῦ ὄφεως.

Απάθειαν Αγγέλων ἐπεδείξω, καὶ σῶμά περ φέρουσα Αγνὴ, Ασπιλε Αειπάρθενε, Χριστιανῶν βοήθεια, διό σε μακαρίζομεν, βροτῶν ἁπάντων ὁ σύλλογος.

Πῶς δοξάσωμέν σε τὴν Παρθένον, ἀπάτορα τέξασαν υἱὸν, ἀχρόνως ὃν ἀμήτορα, Θεὸς Πατὴρ ἐγέννησε, καὶ ἐν γαστρὶ χωρήσασαν, τὸν Απερίγραπτον Δέσποινα;

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Κοντάκιον. ἦχος β'. »Πρεσβεία θερμὴ.«

Παρθένον σεπτὴν, πρὸ τόκου ἀδιάφθορον, ἐν τόκῳ Αγνὴν, καὶ μετὰ τόκον ἄσπιλον, Μαριὰμ δοξάζομεν, καὶ Μητέρα πάντές σε οἴδαμεν, ὡς τὸν Δεσπότην τέξασαν ἡμῖν, βροτῶν τὸν τὴν φύσιν ἐκλυτρώσαντα.

Ωδὴ δ'. »Ο καθήμενος ἐν δόξῃ.«

Αρχαγγέλου ἀγγελίαν, ἐν καρδίᾳ φυλάξασα, τοῖς τε θείοις λόγοις πᾶσιν οὐδαμῶς ἀπιστήσασα, ἀσυνδυάστως τὸν Κύριον ἐγέννησας, Μητροπάρθενε, ὡς Γαβριὴλ σοι κατήγγειλεν.

Ροῦς τὰ πάντα σκιὰ ὄναρ. Ο γὰρ βίος διέρχεται, ὁ Θεὸς δὲ πάντων ἤγγικε κριτὴς δικαιότατος, ἐγὼ δ' ὁ τάλας πικρῶς μέλλω κολάζεσθαι, ὡς ἀμέριμνος, διό σοι κράζω βοήθει μοι.

Χοῦς εἰμὶ καὶ δυσωδία, καὶ τυγχάνω ἀνάξιος, Θεῷ αἴρειν χεῖρας, μόνῃ δὲ θαῤῥῶν ὁ πανάθλιος, τῇ ἀσφαλεῖ σου προστρέχω σκέπῃ Αχραντε, ἱκετεύων σε, κἀμοῦ μνησθῆναι πρὸς Κύριον.

Ωδὴ ε'. »Εξέστη τὰ σύμπαντα.«

Ηὐφράνθην τῷ πνεύματι, ἐπὶ σὲ Κόσμου Ανασσα, ὅθεν σοὶ βοῶ Παρθενομῆτορ, χαῖρε αἰτία τῆς παρὰ πᾶσι χαρᾶς, καὶ αὖθις κατάλυσις ἀρᾶς, Αδου μὲν ἐκκένωσις, Παραδείσου δὲ πρόξενος.

Νοῦς ἅπας ἐξίσταται, καθορῶν τὸ Μυστήριον, τοῦ σοῦ τόκου Ασπιλε Παρθένε, ὅθεν δοξάζειν ἐποτρύνεται Θεὸν, τὸν οὕτως ὦ Δέσποινα Αγνὴ, ἀξίως δοξάσαι σε, ἐκ πασῶν προελόμενον.

Παρθένων ἀγλάϊσμα, καὶ τῶν Μητέρων καύχημα, Παρθένε Πανάμωμε ὑπάρχεις, ἐν παρθενίᾳ γεννησαμένη Χριστὸν, τὸν πάντας ῥυσάμενον βροτοὺς, διό σε γεραίρομεν, ὑμνῳδίαις γηθόμενοι.

Ράβδῳ ἀνορθώσεως, τοὺς ἐν τοῖς πλημμελήμασιν, προσκόψαντας ἔγειρον Μαρία, τῶν τοῦ παμφάγου ῥυομένη ποινῶν, θείας δε Πανάμωμε ζωῆς, μετόχους δεικνύουσα, οὐρανῶν τε οἰκήτορας.

Ωδὴ ς'. »Τὴν θείαν ταύτην.«

Οἰκονομίας πεπλήρωται, διὰ σοῦ τὸ μυστήριον Αχραντε, ὅθεν σε ἅπαντες, τὴν Θεοτόκον δοξάζομεν, Θεοῦ χαῖρε ἡ Μήτηρ, φαιδρῶς σοι κράζοντες.



Σὲ πάντες σκέπην κεκτήμεθα, τοῦ Κόσμου τὸν Δεσπότην κυήσασαν, ὃ σῶσαι πρέσβευε, τοὺς σὲ Παρθένον κηρύττοντας, καὶ εὐλαβῶς ἐν πίστει ὑμνολογοῦντάς σε.

Δεήσεων ἐπακούσασα, ἐν τάχει τὰς αἰτήσεις ἐκπλήρωσον, ἁγνὴ τῶν δούλων σου, παρὰ τοῦ σοὶ ἐνοικήσαντος, καὶ τοὺς βροτοὺς, ἐκ πλάνης ἐλευθερώσαντος.

Κοντάκιον. ἦχος β'. »Προστασία τῶν.«

Εὐφροσύνως οἱ Χριστιανοὶ ἀγαλλόμενοι, μελῳδίαις σὲ χαρμονικῶς μακαρίζουσιν, ὡς Μητέρα τοῦ Πλαστουργοῦ τῆς Κτίσεως Θεοῦ, ἀλλὰ τάχυνον ὡς ἀγαθὴ, καὶ τῶν τιμώντων σε πιστῶς τὴν ψυχὴν ἐκκαθάρισον, ἅγνισον δὲ τὸ σῶμα, εἰς ἄμεμπτον πολιτείαν, ὁδηγοῦσα, ἵν' ἀεὶ Θεοτόκον, σὲ δοξάζωμεν.

Ωδὴ ζ'. »Οὐκ ἐλάτρευσαν.«

Εὐφημοῦμέν σε Παρθένε οἱ ἀνάξιοι, τὴν Υπερένδοξον, χαρμονικῶς ἐν ᾠδαῖς, καὶ ὕμνοις γινώσκοντες, πόλεως ἄμαχον Αντιλήπτορα, καὶ ἐκκλησίας στήριγμα, καὶ πιστῶν σε σωτηρίαν.

Χριστὸν Αχραντε ἐν κόλποις περιθάλψασα, καὶ γαλουχήσασα, ὑπὲρ ἡμῶν ἀγαθὴ, μὴ παύσῃ πρεσβεύουσα, ψυχῆς τοὺς μώλωπας, καὶ τοῦ σώματος, τὰς ἀσθενείας πάντοτε ἐξιάσασθαι Παρθένε.

Οὐδεὶς δύναται Παρθένε ἀριθμήσασθαι, τὰ σὰ τεράστια, ἄπειρα γὰρ ἀληθῶς, ἐνδόξως τελούμενα, πάντοτε Πάναγνε, εἰς Χριστιανῶν τῶν Ορθοδόξων στήριγμα, δυσσεβῶν δὲ καταισχύνην.

Υψους Δέσποινα τοῦ θείου σὺ τετύχηκας, ὡς ἁγιώτατος, Χριστοῦ ναὸς καὶ σεπτὸν, αὐτοῦ οἰκητήριον, λαμπρόν τε σκήνωμα καὶ πανίερον, τὸν τῶν ἁπάντων Κύριον καὶ Θεὸν περιχωρῆσαν.

Ωδὴ η'. »Παῖδας εὐαγεῖς.«

Θεοῦ ἀληθῶς ἡ εὐδοκία, ἐν σοὶ Πάναγνε Παρθένε πεφανέρωται, Κόσμον σῶσαι θέλοντος, καὶ τῆς ψυχολέτηρος καὶ ὀλεθρίας πλάνης, διαβόλου ῥύσασθαι, μετόχους δὲ τῆς δόξης ποιῆσαι, καὶ συγκληρονόμους τῆς θείας Βασιλείας.

Εν σοὶ καταβὰς Παρθενομῆτορ, Θεοῦ ὁ υἱὸς καὶ λόγος περιέλαμψε, θεῖόν σε δεικνύμενος, οὐρανὸν Παναχραντε, τῇ οἰκουμένῃ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΟΡΗΣ ΠΑΝ...

ἥλιον ἐξανατείλασαν, τὸν τὰς ψυχὰς φωτίζοντα πάντων, καὶ ὑπεραυγάζοντα λάμψει τὰς καρδίας.

Ολη παμφαὴς Αγνὴ τυγχάνεις, τὸ φῶς ὑποδεξαμένη τῆς θεότητος, καὶ ἡμᾶς οὖν φώτισον, Παρθένε Απείρανδρε, τοῦ σὲ δοξάζειν πάντοτε, ἐν πίστει κράζοντας, χαῖρε τὸ φῶς τεκοῦσα τὸ θεῖον, τὸ τοὺς ἐν τῷ σκότει τοῦ βίου διευθῦνον.

Ωδὴ θ'. »Απας γηγενής.«

Τεῖχος κατ' ἐχθρῶν, σὺ ὤφθης ἀπόρθητον, διαφυλάττουσα Παρθένε τὴν πόλιν σου, καὶ βλάβης ἐκ παντοίας Πανάμωμε, διὰ τῆς σῆς δυνάμεως, καὶ θείας χάριτος, ῥυομένη, ὅθεν καὶ κραυγάζει σοι, Θεοτόκε ἀεὶ σὺ βοήθει μοι.

Οὖσα δυσσεβῶν, Παρθένε ἀντίπαλος, τῶν εὐσεβούντων δὲ ἡ μόνη ἀντίληψις, τῶν μὲν ἀπάτην πᾶσαν θεάτρισον, Χριστιανῶν δὲ Πάναγνε, τὴν πίστιν στήριξον, ὅπως πάντες Κόρη σε δοξάζομεν, ὡς Θεὸν ἀληθῶς ἡμῖν τέξασαν.

Κάλλει νοητῷ, Παρθένε ὡράϊσον, τὸν νοῦν καὶ τὴν ψυχὴν τῶν προσερχομένων σοι, καὶ τῶν ἀσμένως δοξολογούντων σε, τὴν ἱερὰν καὶ ἄμωμον, ὡς Παντοκράτορα καὶ Σωτῆρα, πᾶσιν ἐκβλαστήσασαν, τὸν ἐξ Αδου Αδὰμ λυτρωσάμενον.

Εἴθε σοι Σεμνή, Παρθένε Πανάμωμε, εἰσακουσθείημεν, καὶ πάντες ἐκ θλίψεων, καὶ νόσων ὀλεθρίων ῥυσθείημεν, καὶ ἰσχυρῶς νικήσαιμεν, τὸν Κοσμοκράτορα, ἐκβοῶντες, χαίροις Αειπάρθενε, ὀρθοδόξων ἰσχὺς ἡ ἀήττητος.

---

Τέρμας γενέσθω τοῦ δε νῦν μοι τοῦ πόνου,
Εἰς κρειττόνων ἔναρξιν ὕμνων Παρθένε.

---



# ΚΑΝΩΝ Β'.

## ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ.

Οὗ ἡ Ακροστιχίς:

Κατ' Αλφάβητον.

Τῶν δὲ Θεοτοκίων

»Θεομῆτορ.«

---

Ωδὴ ά. ἦχος δ'. »Ανοίξω τὸ στόμα μου.«

Ανάρχου Γεννήτορος, λόγον συνάναρχον ἅπαντες, καὶ Πνεύματος σύνθρονον τοῦ Παναγίου Χριστὸν, ἀνυμνήσωμεν, ἡμῶν τὴν σωτηρίαν, ἀπείρῳ χρηστότητι, οἰκονομήσαντα.

Βροτῶν σου ἡ ἔλευσις, γένος ἀνώρθωσε τάχιστα, ψυχῆς γὰρ καὶ σώματος τὰς ἀσθενείας Χριστὲ, ἐξιώμενος, χειρὶ παντοδυνάμῳ, θανάτου ἐξείλκυσας, διττοῦ φιλάνθρωπε.

Γαστέρα ἐνῴκησας, Παρθένου Αχραντον Δέσποτα, τοὺς πάντας βουλόμενος τῆς τοῦ παμφάγου γαστρὸς ἐκλυτρώσασθαι, ἐνθ' ὄφεως ἀπάτῃ, διὰ παντὸς θνήσκοντες, κατεδικάζοντο.

Θεοτοκίον.

Θεοῦ Νύμφη πέφυκας, ὡς ἀληθῶς Παναμώμητε, Θεοῦ Παντοκράτορος, ὑπερφυῶς, τὸν ὁμότιμον ἡμῶν εἰς σωτηρίαν, καὶ πάντων ἀνάπλασιν, λόγον χωρήσασα.

Ωδὴ γ'. »Τοὺς σοὺς Υμνολόγους.«

Δαίμονος τὴν πλάνην Χριστὸς θέλων, τὴν φθείρασαν πάντας ἐκτεμεῖν, τοῦ Νόμου καταδέχεται, Περιτομὴν ὡς εὔσπλαγχνος, ὑπάρχων ὀκταήμερος, ὡς ὁ Θεὸς ἐνετείλατο.

Εν ναῷ ἀχθεὶς τῷ τοῦ Κυρίου, ὡς τοῖς Ιουδαίοις ἔθος ἦν, ἁγιασθῆναι Δέσποτα, ὁ καθαρὸς καὶ ἅγιος, φύσιν βροτῶν ἡγίασας, μεμολυσμένην ὑπάρχουσαν.

Ζωὴν μὲν ἀνθρώποις ἐδωρήσω, τοῖς ὕδασι δὲ ἁγιασμὸν, Ιορδάνου τοῖς ῥεύμασιν ἐμβαπτισθεὶς Πανάχραντε, ἐτῶν μὲν ὢν τριάκοντα, χερσὶ δὲ θείαις Προδρόμου σου.

Θεοτοκίον.

Εν σοὶ ἐπεδείξατο Παρθένε, θαυμάσια ὄντως προφανῶς, ἄνωθεν ἐνοικῆσαί σοι, δι' εὐσπλαγχνίαν ἄφατον, Θεοκυῆτορ Ασπιλε, οἰκονομήσας ὁ Κτίςης σου.

Κοντάκιον. ἦχος β'. »Πρεσβεία θερμή.«

Εἰρήνην τὴν σὴν τοῖς δούλοις σου φιλάνθρωπε, παράσχου Χριςὲ, τὰ πάθη ὅπως πάντοτε, δι'αὐτῆς μαραίνοντες, ἐντρυφῶντες πόνων ἀσκήσεσι, καὶ μετανοίας πόθῳ τοὺς καρποὺς ἀξίως σωθῶμεν συναθροίζοντες.

Ωδὴ δ'. »Ο καθήμενος ἐν δόξῃ.«

Ηττα ν δοὺς τῷ Διαβόλῳ, τρισσῷ βέλει βαλόντι σε, μετὰ τὴν νηςείαν, ἅπασι παρέσχες ὑπόδειγμα, ταῖς προσβολαῖς τῶν Δαιμόνων ἀνθοπλίζεσθαι, ςεροὺς μένοντας, ὅπως τὴν νίκην κομίσαιντο.

Θέλων σῶσαι τοὺς ἀνθρώπους, οὐκ ἐπαύσω σὺ Δέσποτα, ἐκδιδάσκων πάντας, ῥήματα ζωῆς ὁ Φιλάνθρωπος, τοῖς θαυμασίοις τοὺς λόγους σφραγιζόμενος, ἀσθενούντων τε, παθῶν ποικίλων ἰάσεσιν.

Ιησοῦ ὀλίγους ἄρτους, εὐλογήσας ἐχόρτασας, ἐν ἐρήμῳ πλῆθος μετὰ διδαχὴν τὴν μελίρρυτον, καὶ οὐρανίαν, τὴν τὰς ψυχὰς εὐφραίνουσαν πάντων, καὶ ςηρίζουσαν, τῶν πιςευόντων τὰ πνεύματα.

Θεοτοκίον.

Οὐρανὸς νοητὸς ὄντως, σὺ ὤφθης Πανύμνητε, ἀγνωσίας σκότει τοῖς ἐγκαθημένοις τὸν ἥλιον, τῆς ἀληθείας ἐνδόξως ἀνατείλασα, δι' οὗ Δαίμονος, πλάνη σαφῶς πεφυγάδευται.

Ωδὴ ε'. »Εξέστη τὰ σύμπαντα.«

Κραββάτου παράλυτον, πολυετῆ ἐξήγειρας, τῇ τοῦ θείου λόγου σου ἰσχύϊ, τὴν ἁμαρτίαν ἐξαλείψας τῆς ψυχῆς, θανάτου τὴν πρόξενον πικροῦ, ὥσπερ ὁ Απόστολος τῶν ἐθνῶν ἀπεμφθέγξατο.

Λαβεῖν τι αἰτούμενον, τυφλὸν τὸν ἐκ γεννήσεως, οὐ χρήμασιν εὔσπλαγχνε Χριςέ μου, ἀλλὰ πηλῷ χρίσας αὐτοῦ τοὺς ὀφθαλμοὺς, καὶ ἐν τῇ πηγῇ τοῦ Σιλωάμ, νίψασθ' ἐντειλάμενος, τῇ ὁράσει ηὔλόγησας.



Μόνων ἱματίων σου Γυνὴ ἐν ῥύσει αἵματος, εὐθὺς ἁψαμένη ἐξιάθη, τὴν θυγατέρα ἐξαναστῆσαι Χριςὲ, τοῦ Αρχοντος τῆς συναγωγῆς, τὴν ψυχὴν ἀφήσασαν, διαπορευομένου σου.

Θεοτοκίον.

Μωσῆς μὲν τὰ ὕδατα, εἰς αἷμα ῥάβδῳ ἔτρεψεν, ἵνα τὸ ὁμόφυλον δουλείας, τέρατος τρόμῳ, Φαραὼ σώσῃ ποτὲ, τὸ ὕδωρ δ' εἰς οἶνον ἐν Κανᾷ, ὁ υἱός σου Αχραντε, μόνον θέλων μετέβαλεν.

Ωδὴ ς'. »Τὴν θείαν ταύτην.«

Νεκρὸν ταφῆναι φερόμενον, τῆς χήρας τὸν υἱὸν Χριςὲ ἤγειρας, Μητρὸς τὰ δάκρυα, μονογενοῦς υἱοῦ ςέρησιν, ὀδυνηρῶς πενθούσης, οἰκτείρας εὔσπλαγχνε.

Ξηρὰν Ανθρώπου εὐκίνητον, τὴν χεῖρα καταςήσας φιλάνθρωπε, Χριστὲ, κατήσχυνας τὴν Φαρισαίων ὑπόκρισιν, πῶς ἀληθῶς ἐνδείξας, τιμᾷν τὸ Σάββατον.

Ο πάντας σῶσαι ἐρχόμενος, χωλοὺς καὶ παραλύτους ἀνώρθωσας, τυφλοὺς ἐφώτισας, λόγῳ λεπροὺς ἐκαθάρισας, καὶ δαιμονῶντας πάντας, νεκρούς τε ἤγειρας.

Θεοτοκίον.

Ηδύ μοι Κόρη ἀπέργασαι, προθύμως ἀνυμνεῖν σε ἀείποτε, τὴν Αειπάρθενον, Αγνὴν Μητέρα τοῦ Κτίστου μου, βροτῶν καὶ νόων γένους τὴν θείαν Ανασσαν.

Κοντάκιον. ἦχος β'. »Προςασία τῶν.«

Εκκλησίας τῶν Χριςιανῶν τὸ θεμέλιον, ἐν τῇ πίστει ἡμᾶς τῇ πρὸς σὲ πάντας στήριξον, ἀκλονήτους ταῖς προσβολαῖς τοῦ πάντοτε ἐχθροῦ. Ος ῥαδίως θέλγων ἀπατᾷ, τοὺς μὴ τῇ πίστει κραταιῶς συνῳκοδομημένους σοι. Πρόσχες οὖν δεομένοις, ἵνα σοι πεπληρωμένην τὴν πίςιν ἔχοντες ἀεὶ, τῆς σῆς δόξης ἐπιτύχωμεν.

Ωδὴ ζ'. »Οὐκ ἐλάτρευσαν.«

Παντοκράτορος Δεσπότου μεμαρτύρησαι, υἱός σὺ Κύριε, ὁ ζῶν-

των τε καὶ νεκρῶν, Θεὸς ἀληθέστατα, ὅτε τὴν δόξαν σου, ὑπανδείξασθαι, ἐν τῷ Θαβὼρ εὐδόκησας, Μαθητῶν σου τοῖς προκρίτοις.

Ροὰς Δέσποτα δακρύων κατιρκτείρησας, Μάρθας Μαρίας τε, Λαζάρου τοῦ ἀδελφοῦ, πενθούσαιν τὸν θάνατον, ἐμβριμησάμενος; ὡς Θεάνθρωπος, καὶ Φίλε κράξας ἔξελθε, ἐξανέστησας τοῦ τάφου.

Σῶσαι Κύριε παθῶν πάντας ἐρχόμενος, ὄνου ἐκάθησας ἐπὶ πῶλον Ιησοῦ, οἱ δὲ Παῖδες ἔκραζον, κλάδους κατέχοντες, ὑπερένδοξε, τοῦ Ισραὴλ ὁ Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Τὴν ἀνάπλασιν τῶν πάντων, τὴν Μητέρα σου Χριςὲ φιλάνθρωπε τὴν τῶν βροτῶν μὲν τιμὴν, Αγγέλων δὲ αἴνεσιν, ἀεί σε Δαίμονος τὴν ἀντίπαλον, ἐν ὑμνῳδίαις ἅπαντες, εὐλογοῦμεν εἰς αἰῶνας.

Ωδὴ ή. »Παίδας εὐαγεῖς.«

Τῷ τῶν παρανόμων Ιουδαίων, Ιούδας σε Συνεδρίῳ Χριςὲ προὔδωκε, Δαίμονος διάνοιαν, ἐκβλαβεὶς ὁ δείλαιος, καὶ ἀργυρίοις πέπρακε βαβαί! Τριάκοντα, κἀνταῦθα Προφητείας τελείας, τὴν οἰκονομίαν τὴν σὴν ἐκπεραινούσης.

Υπὸ τῶν ἐχθρῶν τῆς ἀληθείας, Πιλάτῳ παραδιδῇ κατηγορούμενος, ὅς καὶ ἀνακρίνας σε, ὄντα ἀκατάκριτον, ἐξαπολῦσαι Δέσποτα πολλάκις ἤθελεν, ἀρθήτω δ' αὐτῶν κραυγασάντων, εἰς τὰ ςαυρωθῆναι παρέδωκεν ἀνόμως.

Φρίττω ἐννοῶν τὸν τῶν Αγγέλων, Δεσπότην ὑπ' Ιουδαίων ὑβριζόμενον, μάςιγας μὲν φέροντα, πτύσματα ῥαπίσματα, ἀκάνθας, ἥλους, λόγχην σταυρικόν τε θάνατον, δεξάμενον ταφὴν θ' ἑκουσίως, ἵνα τοὺς ἐν Αδῃ φωτίσας ἀναγάγῃ.

Θεοτοκίον.

Ωφθης μυστικὸν ὄρος Παρθένε, καὶ κλίμαξ, δι' ἧς εἰς κόσμον καταβέβηκε λόγος ὁ Φιλάνθρωπος, δι' ἧς καὶ οἱ θέλοντες, γῆθεν πρὸς ὕψος ἅπαντες, θεῖον ἀνέρχονται, τῶν Νόων ἔνθ' ὑμνοῦσι τὰ πλήθη, καὶ ὑπεριψοῦσι Θεὸν τὸν ἐν τριάδι.



Ωδὴ θ'. »Απας γηγενής.«

Χαίρειν ἀναςὰς, ἐκ τάφου ἐποίησας, ἅπαντας Δέσποτα, τοὺς ἐξ Αδὰμ σπέρματος, τοὺς μὲν γὰρ Αδου σκότους ἀπήλλαξας, τοὺς δ' ἐμπεσεῖν τῷ ςόματι αὐτοῦ φεῦ! μέλλοντας, ἐξεῤῥύσω, δόξα σοι Θεάνθρωπε, εὐεργέτα Χριςὲ πιςῶς κράζοντας.

Ψαῦσαι τὸν Θωμᾶν, τοὺς μώλωπας Δέσποτα, οὐκ ἀπηξίωσας, τοῦ μετὰ τὴν ἔγερσιν, ἀφθαρτισθέντος θείου σου σώματος, τῶν κεκλεισμένων ἔσωθεν θυρῶν ἐρχόμενος, ἵνα πίςιν ἔχοντες βεβαίαν σοι, ἀναςάντα ἐν Κόσμῳ κηρύττωσιν.

Ω; τὸ ἐπὶ γῆς τελέσας ἐξαίσιον, τῆς ἀναπλάσεως, μυςήριον Δέσποτα, πρὸς τὸν Πατέρα μέλλων ἐν σώματι, ἐπανακάμψαι χεῖράς σου ἄρας εὐλόγησας, τοὺς σοὺς μύςας, ἄλλον ὑπισχνούμενος, μετ' ὀλίγον πεμφθῆναι Παράκλητον.

Θεοτοκίον.

Ρεῖθρον ἱερὸν, ἐδείχθης Πανάχραντε, τοὺς ἐκ τοῦ καύσωνος, τῶν ποικίλων θλίψεων, νῦν καταπονουμένους δροσίζουσα, καὶ πρὸς τὰ ἄνω πάντοτε, τούτους ἐπεκτείνεσθαι, Θεοτόκε, θείως ἐνισχύουσα, μέχρι πόλου τῇ νύσσῃ ἀφίκωνται.

Ζωὴν δὸς ἡμῖν Χριςέ καὶ σωτηρίαν,
Ζωῆς ἀγαθὲ Παροχεῦ αἰωνίου.

# ΚΑΝΩΝ Γ'.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΚΑΙ ΑΡΧΙΔΙΑΚΟΝΟΝ

ΣΤΕΦΑΝΟΝ,

Οὗ ἡ Ἀκροςιχίς:

»Στέφανος ἡμῖν ἀνυμνείσθω ἀξίως.«

τῶν δὲ Θεοτοκίων:

»Συμφορῶν.«

Ὠδὴ α'. ἦχος δ'. »Ἀνοίξω τὸ ςόμα μου.«

Στεφάνου συνελθωμεν, πάντες τῇ μνήμῃ Φιλέορτοι, καὶ θείοις ἐν ᾄσμασι σὺν τοῖς Ἀγγέλων χοροῖς, ἐκθειάσωμεν, τὸν πρῶτον ὑπὲρ λόγου, νομίμως ἀθλήσαντα, πάντων εἰς ἔνδειξιν.

Τῷ θείῳ Διδάκτορι, ἀκολουθήσας Μακάριε, αὐτοῦ ἐχρημάτισας σὺν τοῖς λοιποῖς Μαθητὴς, καὶ Ἀπόςολος, καὶ ἔνθερμος τοῖς πᾶσι, Χριςοῦ τῆς ἐλεύσεως, κήρυξ ὦ Στέφανε.

Εν πίςει εὑρόντες σε, ἐςηριγμένον Ἀπόςολοι, σοφίας δὲ ἔμπλεων; καὶ χαρισμάτων πολλοῖς, τῶν τοῦ Πνεύματος, ψυχὴν ἠγλαϊσμένον, σὲ θείων Διάκονον, Προεχειρήσαντο.

Θεοτοκίον.

Σωτῆρα κυήσασα, ψυχῶν ἡμῶν Ἀειπάρθενε, ἑτέρα ἀσύγκριτος Εὔα ὡράθης Ἁγνὴ, ἐξ ἐκείνης γὰρ, ἐλάβομεν τὴν σάρκα, ψυχὴν δέ σοι ἅπαντες, ἀνεγεννήθημεν.

Ὠδὴ γ'. »Τοὺς σοὺς Ὑμνολόγους.«

Φωτὸς οὐρανίου ταῖς ἀκτῖσι, λαμπόμενος ἔνδοξε σαφῶς, ἅπαντας κατεφώτισας, τοὺς τῷ Χριςῷ πιςεύσαντας, καὶ τὴν ἀχλὺν ἐδίωξας, τῆς ἀσεβείας Ἀπόςολε.



Ἅπασιν ἀφθόνως διεδίδως, ἀγάπῃ τελείᾳ εἰς Θεὸν, πάντοτε διὰ λόγων σου, τῶν ἱερῶν Ἀπόστολε, ὕδατος ζῶντος νάματα, ὅσοι Χριςὸς ἐχαρίτατο.

Νέος ἡλικίᾳ χρηματίζων, φρονήσει ἐξέλαμπες Σοφὲ, σώματος ὡραιότητι, καὶ τῆς ψυχῆς Μακάριε, τῷ κάλλει θαυμαζόμενος, Τριάδος θείας Ἀπόστολε.

Θεοτοκίον.

Ὕμνοις σὲ δοξάζομεν Παρθένε, τὴν πάντων βοήθειαν πιστῶν, σύμμαχον Βασιλέων τε, Ἐκκλησιῶν εὐπρέπειαν, τῶν Ἱερέων καύχημα, καὶ τῶν ἀπίστων ἀντίπαλον.

Κάθισμα. Ἦχος ά. »Τὸν τάφον σου.«

Χριστοῦ τὸν Μαθητὴν, καὶ Ἀπόστολον πάντες, Τριάδος τὸν σεπτὸν πᾶσι κήρυκα ὕμνοις, τιμήσωμεν ςηρίξαντα, καρτερῶς τὴν εὐσέβειαν. Ὃν ἐθαύμασαν, βροτῶν καὶ Νόων τὰ πλήθη, ὃν καὶ Δαίμονες, τραυματισθέντες εὐστόχως, εἰκότως κατέπτηξαν.

Ὠδὴ δ'. »Ὁ καθήμενος ἐν δόξῃ.«

Ὅλος ὤφθης Ἰουδαίοις, ἰσχυρὸς ἀντικείμενος, καταισχύνων τούτων, πλάνην ταῖς βρονταῖς τῶν ῥημάτων σου, τῶν Προφητῶν νῦν πεπλήρωνται, φθεγγόμενος, τὰ κηρύγματα, ὄντως Χριστὸς γὰρ ἐλήλυθε.

Συνεδρίῳ παρανόμων, παραστὰς θεῖε Στέφανε, ἐξελέγξαι πάντας, οὐδὲν ἐπτοήθης Ἀπόστολε, ὡς ἀπειθοῦντας ἀεὶ Θεοῦ τῷ Πνεύματι, διὰ στόματος τῶν Προφητῶν τῷ λαλήσαντι.

Ἡττηθέντες τῶν σῶν λόγων, καὶ ἀνοῖξαι οἱ ἄθλιοι, χείλη μὴ τολμῶντες, πάντες ταῖς καρδίαις ἐπρίοντο, καὶ τοὺς ὀδόντας ἐνέβρυχον τῷ ςόματι, σοῦ μὴ φέροντες τὴν παῤῥησίαν Ἀπόςολε.

Θεοτοκίον.

Μόνη Ἄχραντε ἐδείχθης, Παρθενίας τοῖς κάλλεσι, καὶ λοχείας ἅμα ἐξωραϊσμένη ταῖς χάρισι, σὺ παρθενεύουσα Μήτηρ, Παντοκράτορος, τὸν Προάναρχον λόγον ἀσπόρως κυήσασα.

Ωδὴ ε΄. » Εξέστη τὰ σύμπαντα. «

Μακάριος ὄντως εἶ, ὅλῃ ψυχῇ τὸν Κύριον, σοφῶς ὑπὲρ ἅπαντα φιλήσας, καὶ ἀμοιβαίως παρ᾽ αὐτοῦ ἀγαπηθείς. Τὸ πρόσωπον θείως δ᾽ ἐλλαμφθεὶς, τὰς τῶν κατηγόρων σου διανοίας ἐξέστησας.

Ισχὺν ἐν καρδίᾳ σου, δεδεγμένος Απόστολε, οὐδὲν παρανόμων ἐλογίσω, συκοφαντείας ἀλλ᾽ ὡς θεότητος, θρόνῳ παριστάμενος Πατρὸς, λόγον ὁμοούσιον, ἐν τοῖς κόλποις κατέβλεπες.

Νικώμενον βλέποντες, πᾶν αὐτῶν ἐπιχείρημα, οἱ τῆς ἀσεβείας τυφλοὶ παῖδες, ταῖς μιαιφόνοις ὦτα συνέσχον χερσὶ, βλασφήμους Στεφάνου τοὺς σεπτοὺς, λόγους ἐκλαμβάνοντες, καὶ τοῖς λίθοις κατέλευσαν.

Θεοτοκίον.

Φῶς θεῖον ἀνέλαμψε, ἐκ σοῦ Κόσμου τοῖς πέρασι, λόγος Πατρὸς ἄϋλος Παρθένε, νοῦν ψυχὴν σῶμα ἐν τῇ γαστρίσου λαβὼν, τὸν Ανθρωπον ὅλον βουληθεὶς, τοῦ Πατρὸς καὶ Πνεύματος τῇ συμπνοίᾳ λυτρώσασθαι.

Ωδὴ ς΄. » Τὴν θείαν ταύτην. «

Αἱμάτων χεῖρας οἱ ἄθλιοι, τῶν τοῦ Δεσπότου οὔπω ἀπέπλυναν, ἀλλὰ καὶ δεύτερον, αὐτοῦ τὸν δοῦλον φονεύσαντες, ἀδίκως τὸν ἀθῶον, κατεμολύνθησαν.

Νικᾶν ὁρῶντες τὸν Στέφανον, ῥαδίως τὰς ὑμῶν δολιότητας, νόμῳ πολέμιον, τὸν Νόμον δῆθεν σεβόμενοι, ψευδῶς κατηγοροῦντες, πικρῶς ἐκτείνατε.

Υψίστου λόγου Απόστολον, λιθᾶσαι Ιουδαῖοι οἱ ἄνομοι, ἀνόμως θέλοντες, Παύλου αὐτῶν τὰ ἱμάτια, τότε ὁμογνωμοῦντος, ποσὶ κατέθεντο.

Θεοτοκίον.

Ο πρὶν κτισθῆναι σοφώτατα, τὸ πᾶν οἰκονομήσας Πανύμνητε, αὐτοῦ εἰς οἴκημα, σὲ ἀπ᾽ αἰώνων προώρισεν, ἵνα Θεῷ ἑνώσῃ τοὺς ἁμαρτήσοντας.



Κοντάκιον ἦχος β΄. » Τὰ ἄνω ζητῶν. «

Σωτῆρι Χριτῷ, συνᾶψαι σὺ βουλόμενος, τοὺς πάντας Σοφὲ, τῷ θείῳ σου κηρύγματι, τοὺς σκληροὺς δὲ μάλιστα Ιουδαίους πεῖσαι πειρώμενος, τ᾽ ἀληθῆ δεχθῆναι πιστῶς, ἀνόμως ἐλεύσθης καρτερώτατε.

Ωδὴ ζ΄. » Οὐκ ἐλάτρευσαν. «

Μανικῶς οἱ μιαιφόνοι, λίθοις βάλλοντες, τὸν θεῖον Στέφανον, οἱ τὰς καρδίας αὐτῶν, τῶν λίθων σκληρότεροι, κατετραυμάτιζον, μὴ Φιλάνθρωπε, αὐτῶν ἐπίδῃς κράζοντα, τῇ τοιαύτῃ ἁμαρτίᾳ.

Νοητοῦ Δράκοντος κάραν, κατεσύντριψεν, ὁ θεῖος Στέφανος, ἀκοντισμοῖς καρτερῶν, ὅτε καὶ μιμούμενος, Χριστὸν ἐκπνέοντα, τὸν Φιλάνθρωπον, Θεὸν αὐτοῦ ἱκέτευε, τοῖς φονεῦσι συγχωρῆσαι.

Εἰς οὐράνια τὰς χεῖρας, καὶ τὰ ὄμματα, καὶ τὴν καρδίαν σου, ὁλοψύχως ἀνασχὼν, Χριστέ μου ἐκραύγαζες, δέξαι τὸ Πνεῦμά μου, Κόσμον δ᾽ ἤλλαξας, καὶ τὰς ὀδύνας πάραυτα, αἰωνίῳ Βασιλείᾳ.

Ιλαρώτατος τοῖς πᾶσιν, ὤφθης Στέφανε, πιστοὺς στηρίζων μὲν, ἀπίστων δὲ τὰς ψυχὰς, μαλάσσων τοῖς λόγοις σου, καὶ τοῦ Δεσπότου σοῦ τηρῶν πάντοτε, τὰ ἱερὰ ἐντάλματα, πρὸς τὸ φῶς τὰ ὁδηγοῦντα.

Θεοτοκίον.

Ρωμαλέως Ζαχαρίας ὁ Μακάριος, σφοδρῶς ἀντέτεινε τῇ πονηρᾷ γενεᾷ, καὶ ἄδικον θάνατον, ἄσμενος ἤνεγκεν, Αειπάρθενον, καὶ μετὰ τόκον Δέσποινα, ἀληθῶς σὲ μαρτυρήσας.

Ωδὴ ή. » Παῖδας εὐαγεῖς. «

Στεφάνῳ τῆς δόξης ἐκοσμήθης, Πρωτάθλος Παντοκράτορος γενόμενος, Οὐρανοὺς ἐκτήσω δὲ, καὶ τὰ ὄντως ἄφραστα, καὶ αἰωνίως μένοντα, χρηστὰ κεκλήρωσαι, ἑκὼν ἀκολουθήσας Κυρίῳ, οὗ τῆς Βαλείας καὶ σύγκληρος ἐγένου.

Θεῷ τὴν ψυχὴν προσηλωμένος, ὡράθης σαφῶς ὦ Στέφανε, πανθαύμαστε, σώματι ἐνόντος γὰρ, Κόσμῳ τοῦ Παντάνακτος, αὐτῷ ἡνώθης σκύβαλα κρίνας ἃ κέκτησο, Γραφὰς δὲ ἐρευνῶν τὰς Αγίας, ὅπου νῦν ὑπάρχεις, διάνοιαν προσεῖχες.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ωδαῖς τὸν Θεὸν τὸν ἐν Τριάδι, Αγγέλων νῦν συνδοξάζεις τοῖς στρατεύμασι, ζήσας ὑπὲρ ἄνθρωπον, καὶ ἀγαλλιώμενος, τῶν Αποστόλων ἔστηκας ἐν μέσω Στέφανε, συμμέτοχος τῶν πόνων ὑπάρξας, ὡς δὲ Πρωτομάρτυς, ἐξάρχεις ἀθλησάντων.

Αγίως ἀγάλλη σὺν Αγίοις, τῷ μόνῳ ὄντως Αγίῳ τὸν τρισάγιον, ὕμνον εἰς οὐράνια, ψάλλων θεῖε Στέφανε, ὁ τὴν Τριάδα ἅπασι κηρύξας σέβεσθαι, καὶ αἵματος ἰδίου τοῖς ῥείθροις, πρῶτος ἐκσφραγίσας τὴν σὴν ὁμολογίαν.

Θεοτοκίον.

Ως εἶ καθαρὰ Παρθενομῆτορ, τοῦ θρόνον μὲν κεκτημένου τὸ στερέωμα, γῆν δὲ ὑποπόδιον, θρόνος καὶ παλάτιον, γεγεννημένη Πάνσεμνε, οὗτος γὰρ βρέφος σοι, τεχθῆναι δι' ἡμᾶς ἠβουλήθη, τοὺς ἀπολωλότας, ἐξ ᾅδου ὅπως σώσῃ.

Ωδὴ θ'. » Απας γηγενής. «

Ξένον ἐπὶ σοί, Απόστολε γέγονεν, ἐν γῇ ταφέντος σου, θαῦμα καὶ παράδοξον, τὸ σὸν γὰρ σῶμα σῶον εἰς ἔνδειξιν, ἧς ἀπολαύεις χάριτος, πρὸς Θεοῦ ἔμεινεν, εὐωδίας, γέμον καὶ ἰάσεων, πιστοῖς πᾶσι προχέων τὰς χάριτας.

Ιλεων ἡμῖν, Απόστολε ἅπασι, Χριστὸν ἀπέργασαι, ἡμῶν ὀργιζόμενον, δικαίως πάνυ τοῖς ἀνομήμασι, τοὺς ἐκ τῶν λίθων μώλωπας αὐτῷ δεικνύμενος, ὡς τὰ ἄστρα, ὄντως τοὺς ἐκλάμποντας, ἐν τῷ θείῳ σου ἔτι σκηνώματι.

Ωφθη θησαυρὸς, πολύτιμος Στέφανε, ἐκ γῆς τὸ ἅγιον καὶ μαρτυρικώτατον, ἀναφανὲν Πρωτόαθλε σῶμάσου, εἰς Ιουδαίων ἔλεγχον, Θεοῦ δὲ αἴνεσιν, καὶ παντοίων, νόσων ἀπολύτρωσιν, τῶν πιστῶς δεομένων σου πάντοτε.

Στέφανον πιστοὶ, τὸν θεῖον Απόστολον, νῦν ἱκετεύσωμεν, ἡμῖν τὸν Φιλάνθρωπον, ἐκδυσσωπεῖν ἀείποτε Κύριον, οὗ τῷ οἰκείῳ ἔρωτι αἷμα ἐξέχεε, καὶ τὸν ὧδε, βίον ἐξηρνήσατο, σὺν Χριστῷ μᾶλλον εἶναι ἑλόμενος.



Θεοτοκίον.

Νοῦς Αγγελικὸς, Θεόθεν ἀπεστάλη σοι, ὅτε τὸ πλήρωμα, τῶν καιρῶν ἐλήλυθε, βουλὴν τὴν θείαν ἀποκαλύπτων σοι, ὁ δὲ ἐκ σοῦ βουλόμενος ἐνανθρωπήσασθαι, σὺν τῷ λόγῳ, ἐν σοὶ Αειπάρθενε, συνελήφθη, βροτῶν εἰς ἀνάπλασιν.

Χριστοῦ σὺ ἐγγὺς Πρωτόαθλε τυγχάνων
Αἴτει παρ' αὐτοῦ πταισμάτων μου τὴν λύσιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΕΚΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΚΑΝΩΝ Δ΄.

## ΠΑΡΑΚΛΗΤΙΚΟΣ.

## ΕΙΣ ΤΟΥΣ ΑΡΧΑΓΓΕΛΟΥΣ ΜΙΧΑΗΛ ΚΑΙ ΓΑΒΡΙΗΛ

Οὗ ἡ Ακροστιχίς:

» ΜΙΧΑΗΛ ΣΤΕΦΑΝΟΣ Ο ΙΔΡΩΜΕΝΟΣ. «

Τῶν δὲ Θεοτοκίων:

» Φύλαξ μοι. «

Ωδὴ ά. Ηχος Πλ. δ'. » Αρματηλάτην «. . .

Μοναρχικῷ τῆς τριλαμποῦς Θεότητος, θρόνῳ Σοφὲ Μιχαὴλ, ἐν οὐρανοῖς φόβῳ, σὺν χοροῖς Αρχάγγελε, Νόων τῶν θείων πάντοτε, παριστάμενος πᾶσι, τοῖς σοὶ ἐν πίστει προσπίπτουσι, χεῖρα ἀντιλήψεως ἔκτεινον.

Ιεραρχίας Μιχαὴλ Αρχάγγελε, ἀγγελικῆς προεστὼς, τὴν κατ' ἐμοῦ ὄντως, τοῦ δικαίου Ανακτος, ἐπικειμένην πάντοτε, ἀγανάκτησιν παῦσον, αὐτὸν ταῖς θείαις πρεσβείαις σου, ἵλεων ἐμοὶ ἐργαζόμενος.

Χριστοῦ ὑπάρχων ἰσχυρὸς Ταξίαρχος, ὦ θαυμαστὲ Μιχαὴλ, τῇ κραταιᾷ σκέπῃ τῶν σεπτῶν πτερύγων σου, ταῖς τοῦ ἐχθροῦ μὲ ἄτρωτον περιφύλαξον μάχαις, ὅπως αὐτὸν τροπωσάμενος, πάντων ἐκδοξάζω τὸν Κύριον.

Θεοτοκίον.

Φῶς ἡ τεκοῦσα Θεοτόκε ἔκπεμψον, τούτου ἀκτῖνα κἀμοὶ, Δαιμονικῆς ὅπως, ἐκλυθείσης τάχιστα, ἀχλύος σκότους ἴδοιμι, τὴν ὁδὸν τὴν εὐθεῖαν, αὐτὴν βαδίσας δὲ ἔλθοιμι, πάλιν εἰς τὴν ὄντως Πατρίδα μου.



Ωδὴ γ΄. » Οὐρανίας ἀψῖδος. «

Αρχιστράτηγος πέλων, ὦ Γαβριὴλ ἔνδοξε, πάντων ἀσωμάτων ταγμάτων, νῦν με ἀξίωσον, τῇ προστασίᾳ σου, ἀκατακρίτῳ καρδίᾳ, ἀνυμνεῖν Χριστὸν τὸν Θεόν μου καὶ Κύριον.

Ηδονῶν ἀκαθάρτων, Αγγελικῶν ἔξαρχε, θείων καὶ ἀΰλων ταγμάτων, Γαβριὴλ σῶσόν με, ἵνα μὴ ὅλως αὐταῖς ἐμβυθισθεὶς, νοῦν καὶ σῶμα, καὶ ψυχὴν δυσώδης, ὁ ἄθλιος γένωμαι.

Λυπηρὰς περιστάσεις, καὶ χαλεπὰς σκέδασον, νόσους ἀπ' ἐμοῦ τοῦ ἀθλίου, Θεῖε Αρχάγγελε, ἵνα δοξάζω σε, ἐν εὐφροσύνῃ καὶ πόθῳ, εὐχαρίστως θείοις ἐν ὕμνοις ἐξάδων σοι.

Θεοτοκίον.

Υψηλοῦ ἐπὶ θρόνου, ἐν οὐρανοῖς Πάναγνε, Θεὸς ἑαυτοῦ ὡς Μητέρα σὲ ἀνεβίβασε, πολλὴν οὖν σὺ πρὸς αὐτὸν, τὴν παῤῥησίαν Μαρία, κεκτημένη πρέσβευε, ὑπὲρ τῶν δούλων σου.

Κάθισμα. Ηχος Πλ. δ΄. » Ανέστης ἐκ νεκρῶν. «

Τῶν θείων Στρατιῶν, Μιχαὴλ Στρατηλάτην, τιμήσωμεν Πιστοὶ, πνευματικοῖς ἐν ὕμνοις, θείῳ φωτὶ ἀπαύστως, ἐκλαμπρυνόμενοι τὴν διάνοιαν, οὗτος γὰρ ἱκετεύων, οὐ διαλείπει Χριστὸν τὸν Κύριον, κατοικτειρῆσαι πάντας τοὺς αὐτοῦ, τὴν μνήμην ἐκτελοῦντας.

Ωδὴ δ΄. » Σύμου Ισχὺς Κύριε. «

Σύ με σοφῶς τήρησον, Θεῖε Αρχάγγελε, ἀσφαλείᾳ κρημνοῦ τῆς ἐπάρσεως, ἥν ἀναβὰς, Αδου τοὺς μυχοὺς, τοὺς ζοφερωτάτους ὁ δείλαιος καταβήσομαι, διόσοι πιστῶς κράζω, ὑλικῆς ὁ κωλήσας, Μιχαὴλ Νόας πτώσεως τήρει με.

Τρόμου δεινοῦ ῥῦσαί με, Θεῖε Αρχάγγελε, τῶν Δαιμόνων, λύων τὰ φαντάσματα, καὶ δολερῶν τούτων ἐνεδρῶν, καὶ κρυπτῶν παγίδων, σπουδαίως διαφυλάττων με, ταῖς πρὸς τὸν Δεσπότην, Μιχαὴλ ἱκεσίαις, ὦ πολλῇ παῤῥησίᾳ παρίστασαι.

Εκ τοῦ πυρὸς πάνοικον, Λὼτ ὁ ῥυσάμενος, καὶ Σοδόμων φρικτῆς κατασκάψεως, κἀμὲ πυρὸς Θεῖε Μιχαὴλ, τοῦ ἀεὶ ἀσβέστου διάσωσον Αρχιστράτηγε, καὶ τῆς φοβερωτάτης, ἀποφάσεως ὄντως, μὴ ἀκούσαιμι, εἴθε πρεσβείαις σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεοτοκίον.

Λίθος σκληρὸς γέγονα ὄντως ὁ ἄθλιος, ἔργων φαύλων, βλέπων τὰ ἀκόλουθα, μηδόλως δὴ ταῦτα παρορῶν, Θεοῦτε Μαρία, κωφεύων τοῖς θείοις ῥήμασιν, ἀναισθητῶν ἐλέγχοις Συνειδήσεως ὅθεν, ἐκ καρδίας κραυγάζω σοι σῶσόν με.

Ωδὴ ε'. » Ινα τί με ἀπώσω. «

Φανερῶς τὸν Δεσπότην, τὸν ἀπαραλόγιστον, ὄντως ἐξύβρισα, τὴν αὐτοῦ εἰκόνα, ἐκμολύνας ὁ τάλας τοῖς πάθεσι, καὶ τὸν χαρισθέντα νοῦν λογισμοῖς μου σκοτίσας ἀλλ' αὐτὸν Γαβριὴλ μοι ἱλέωσαι.

Αγαπᾷν ὁλοψύχως, τὸν ἁπάντων Κύριον, Γαβριὴλ ποίησον ἔνθεν γὰρ δακρύων, αἱ ἀένναοι κρῆναι πηγάζουσι, τῆς συντετριμμένης καὶ ταπεινῶς ψυχῆς ἐχούσης, δι' ὧν Πνεύματος χάριτες νέμονται.

Νεκρὸς νῦν κατεστάθην καὶ ζῶν περ ὁ ἄθλιος, ζωῆς γὰρ ἄμοιρος, αἰωνίου ὤφθην, καὶ ἀλλότριος τοῦ ζῶντος ὕδατος, ἀλλὰ σὺ ναόν με, ἱερὸν Πνεύματος Ἁγίου, Γαβριὴλ Ἀρχιστράτηγε ποίησον.

Θεοτοκίον.

Απειθὴς ἐγενόμην, τοῖς ἐπὶ Μετάνοιαν, Παρθένε Ἄσπιλε, ἐκκαλοῦσι λόγοις, ὅθεν καὶ σωτηρίας ἀπέτυχον, καὶ νῦν δὲ εὐσπλάγχνως, ἀντιλαβοῦ μου, τοῦ Σωτῆρος, τῇ φωνῇ ὑπακοῦσαι ποθήσαντος.

Ωδὴ ς'. » Τὴν δέησιν ἐκχεῶ. «

Ολέθρου ὦ Μιχαὴλ Ἀρχάγγελε, διαφύλαξον παντὸς τὴν ἀθλίαν, καὶ ζοφερὰν, καὶ τοῦ Αδου ἀξίαν, ὄντως ψυχήν μου πταισμάτων τοῖς πλήθεσι, ὁ τοῦ Ιακὼβ τὴν ζωὴν, Ἀδελφοῦ τῶν χειρῶν λυτρωσάμενος.

Σωθῆναι ἐπιποθῶ Ἀρχάγγελε, Διαβόλου τῆς δουλείας ὁ τάλας, καὶ τὴν ὁδὸν, τὴν στενὴν διοδεῦσαι, ἀλλ' ὡς πυρὸς ἐν ἐρήμῳ ἐφώτισας, τῷ στύλῳ πάλαι Ισραὴλ, καὶ ἐμοῦ τὴν ἀχλὺν ἀποδίωξον.

Ο πάλ' ἐν Ιεριχὼ Ἀρχάγγελε, Ἰησοῦ τῷ τοῦ Ναυὴ ξιφηφόρος, ἀναφανεὶς καὶ αὐτῷ πυθομένῳ, τῶν τοῦ Θεοῦ λειτουργῶν Ἀρχιστράτηγον, σαυτὸν δηλώσας Μιχαὴλ, ἐκ φθορᾶς καὶ κινδύνων με λύτρωσαι.



Θεοτοκίον.

Ξηρᾶναί μου σὲ θερμῶς ἱκετεύω, λογισμῶν τὰς προσβολὰς τὰς ῥοώδεις, καὶ τῶν παθῶν τὰς ἀλόγους ὀρέξεις, ψυχήν δε νοῦν τε καὶ σῶμα τοῦ τάλανος, τῇ χάριτι τοῦ σοῦ υἱοῦ, σωφροσύνῃ Ἁγνὴ ἁγιάσαι μου.

Κοντάκιον. Ηχος Πλ. δ'. » Τῇ Υπερμάχῳ. «

Τῆς σωτηρίας Γαβριὴλ Θεῖε προάγγελος, καὶ τῆς τοῦ λόγου πρὸς ἡμᾶς τοῦ Παντοκράτορος, οὐρανόθεν εἰς τὸν Κόσμον ἐπιδημίας, Υπηρέτης μυστικώτατος γενόμενος, σωτηρίας ἀπολαῦσαί με ἀξίωσον, ἵνα κράζω σοι, χαίροις Νόων Ταξίαρχε.

Ωδὴ ζ'. » Παῖδες Εβραίων. «

Ιππος ἀκράτητος ἐδείχθην, ταῖς ἀλόγοις μου ὀρέξεσιν ὁ τάλας, ἀλλὰ σὺ Γαβριὴλ, Ἀρχάγγελε Κυρίου, τὰς κινδυνώδεις τάχιστα, τῶν παθῶν μου ὁρμὰς στῆσον.

Δόξαν προσφέρειν τῷ Κυρίῳ, Γαβριὴλ ἀκατακρίτῳ με καρδίᾳ, καὶ χαρᾷ ψυχικῇ, ἀεὶ ἀξίωσόν με, εἰς οὐρανοὺς διάνοιαν, τὴν ἐμὴν ἀναπτερώσας.

Ρώμῃ τὸ πνεῦμα καὶ τὸ σῶμα, κραταιῶς ἐνίσχυσόν μου θείας δόξης, Γαβριὴλ λειτουργὲ, τῇ σῇ ἐπισκιάσει, ἵνα δοξάζω πάντοτε, τὸν Θεὸν δι' ἀμφοτέρων.

Θεοτοκίον.

Μόνιμον τεῖχος σὺ μοὶ εἴης, κατ' ἐχθρῶν τῶν ὁρατῶν καὶ ἀοράτων, σωτηρίας Ἁγνὴ, τὸν βίον ὅπως πάντα, ἐν ἀσφαλείᾳ Δέσποινα, σὲ δοξάζω διανύσας.

Ωδὴ η'. » Τὸν ἐν ὄρει. «

Ως ἐν χώναις, τὰ ὑπὸ τῶν ἀνόμων, συγχωνεύσας, ῥεύματα λάβρως κινηθέντα, κατὰ τοῦ σοῦ ἐν Πέτρᾳ Ἁγιάσματος, Δαίμονος ἀπράκτους, Μιχαὴλ τοὺς δόλους, τοὺς κατ' ἐμοῦ ἐργάζου.

Μόνος ἔργοις, ἀτόποις βροτοὺς πάντας, ἐχθροῦ πλάνῃ, πάντας πτερνίσαι πειρωμένου, ἀναισθητῶν ὁ τάλας ὑπερήλασα, τούτων τῶν μωλώπων, σὺ θεράπευσόν με, Μιχαὴλ Ταξίαρχα.

Εν δακρύοις, προστρέχω σοι κραυγάζων, τῶν πτερύγων, ἔκτεινον σκέπην σου τὴν θείαν, τῷ ἐκτενῶς ἐν πίστει δεομένῳ σου, πρώτιστε Κυρίου, Λειτουργὲ εὐσπλάγχνως, Μιχαὴλ ἐπακούσας.

Θεοτοκίον.

Ολος ὄντως μανία κατεσάθην, ταῖς ἀτόποις, Παρθενομῆτορ, πράξεσί μου, πρόφθασον οὖν ἐν τάχει εἰρηνεύουσα, νοῦν τεταραγμένον, ἵνα θερμοτέρως, ἀπαύστως ἀνυμνῶσε.

Ωδὴ θ'. » Εξέστη ἐπὶ τοῦτο. «

Ναόν με τοῦ Δεσπότου τὸν ταπεινὸν, ἄξιόν με Πανένδοξε ποίησον, τῶν ἀρετῶν οἶκον ἐργαζόμενος Γαβριὴλ, ἁμαρτιῶν καθαίρων με, ψυχὴν δὲ καὶ σῶμα αἰσθήσεις νοῦν, τὰ πάντα ἁγιάζων, σῇ θείᾳ προστασίᾳ, ὁ τῶν Αγγέλων Αρχιστράτηγος.

Οργῆς με ἐριθείας τε καὶ θυμοῦ, ζήλου φθόνου καὶ δεινῆς κατακρίσεως, καὶ τῆς μητρὸς φύλαξον ὀργίας τῶν πονηρῶν, καὶ λαιμαργίας πάντοτε, ὑπερηφανίας τε τῆς τυφλῆς, Αγγέλων Ταξιάρχα, καὶ πάντων τῶν Ανθρώπων, ὦ Γαβριὴλ, Προστάτα ἔνδοξε.

Σεπτῶς ἐπικαλοῦμαι νῦν τὸ ὑμῶν, σεπτὸν ὄνομα ὄντως ὁ ἄθλιος, ἐν συντριβῇ στένων τῆς καρδίας εἰλικρινῶς, ἀλλ' ὦ Χριστοῦ Αρχάγγελοι, μή με ἀποῤῥίψητε τὸν πολλοῖς κυκλούμενον κινδύνοις, ἀλλ' ἐπισκέψασθέ με, ταῖς πρὸς Θεὸν ὑμῶν δεήσεσι.

Θεοτοκίον.

Ιδού σοι νῦν προσπίπτω ὀδυνηρῶς, στεναγμοῖς Θεοτόκε καὶ δάκρυσιν, ἐπὶ ταῖς σαῖς πρῶτον προστασίαις θαῤῥῶν ἀεὶ, Ταξιαρχῶν τε δεύτερον, καὶ τῇ τοῦ Δεσπότου τῶν Οὐρανῶν, ἀπείρῳ εὐσπλαγχνίᾳ, ψυχῆς τὴν σωτηρίαν, θερμῇ τῇ πίστει ἐξαιτούμενος.

Ασμασιν ὑμνεῖν τοὺς δύω Ταξιάρχας
Λειτουργικῶν ἅπασιν εἰκὸς Πνευμάτων.